*Ζηνὸς γὰρ οὖσαν ζῆν νιν ἄφθιτον χρεών,*
*Κάστορί τε Πολυδεύκει τ᾽ ἐν αἰθέρος πτυχαῖς*
*σύνθακος ἔσται, ναυτίλοις σωτήριος*
*— ἄλλην δὲ νύμφην ἐς δόμους κτῆσαι λαβών —*
*ἐπεὶ θεοὶ τῷ τῆσδε καλλιστεύματι*
*Ἕλληνας εἰς ἓν καὶ Φρύγας συνήγαγον,*
*θανάτους τ᾽ ἔθηκαν, ὡς ἀπαντλοῖεν χθονὸς*
*ὕβρισμα θνητῶν ἀφθόνου πληρώματος.*

*τὰ μὲν καθ᾽ Ἑλένην ὧδ᾽ ἔχει· σὲ δ᾽ αὖ χρεών,*
*Ὀρέστα, γαίας τῆσδ᾽ ὑπερβαλόνθ᾽ ὅρους*
*Παρράσιον οἰκεῖν δάπεδον ἐνιαυτοῦ κύκλον.*
*κεκλήσεται δὲ σῆς φυγῆς ἐπώνυμον.*
⟦*Ἀζᾶσιν Ἀρκάσιν τ᾽ Ὀρέστειον καλεῖν*⟧
*ἐνθένδε δ᾽ ἐλθὼν τὴν Ἀθηναίων πόλιν*
*δίκην ὑπόσχες αἵματος μητροκτόνου*
*Εὐμενίσι τρισσαῖς· θεοὶ δέ σοι δίκης βραβῆς*
*πάγοισιν ἐν Ἀρείοισιν εὐσεβεστάτην*
*ψῆφον διοίσουσ᾽, ἔνθα νικῆσαί σε χρή.*
*ἐφ᾽ ᾗ δ᾽ ἔχεις, Ὀρέστα, φάσγανον δέρῃ,*
*γῆμαι πέπρωταί σ᾽ Ἑρμιόνην· ὃς δ᾽ οἴεται*
*Νεοπτόλεμος γαμεῖν νιν, οὐ γαμεῖ ποτε.*
*θανεῖν γὰρ αὐτῷ μοῖρα Δελφικῷ ξίφει,*
*δίκας Ἀχιλλέως πατρὸς ἐξαιτοῦντά με.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id405339755/97 UNIVERSITÄT LEIPZIG